# unfoldingWord® Greek New Testament

## 2 John

### Version 0.34

[el-x-koine]

# Copyrights and Licensing

**unfoldingWord® Greek New Testament**
**Date:** 2023-09-26
**Version:** 0.34
**Published by:** unfoldingWord

**unfoldingWord® Hebrew Bible**
**Date:** 2024-07-23
**Version:** 2.1.31
**Published by:** unfoldingWord

**Bunning Heuristic Prototype Greek New Testament**
**Date:** 2017-11-13
**Version:** 0
**Published by:** unfoldingWord

*unfoldingWord® Greek New Testament*

*Copyright © 2022 by unfoldingWord*

This work is made available under the Creative Commons Attribution-ShareAlike 4.0 International License. To view a copy of this license, visit https://creativecommons.org/licenses/by-sa/4.0/ or send a letter to Creative Commons, PO Box 1866, Mountain View, CA 94042, USA.

unfoldingWord® is a registered trademark of unfoldingWord. Use of the unfoldingWord name or logo requires the written permission of unfoldingWord. Under the terms of the CC BY-SA license, you may copy and redistribute this unmodified work as long as you keep the unfoldingWord® trademark intact. If you modify a copy or translate this work, thereby creating a derivative work, you must remove the unfoldingWord® trademark.

On the derivative work, you must indicate what changes you have made and attribute the work as follows: “The original work by unfoldingWord is available from unfoldingword.org/ugnt”. You must also make your derivative work available under the same license (CC BY-SA).

If you would like to notify unfoldingWord regarding your translation of this work, please contact us at unfoldingword.org/contact.

The unfoldingWord® Greek New Testament is based on the Bunning Heuristic Prototype Greek New Testament, from https://greekcntr.org/, which is licensed as CC BY-SA 4.0. You may see the changes that we made at https://git.door43.org/unfoldingWord/ugnt.

# Table of Contents

**2 John** .......... **4**
Chapter 1 .......... 4
Bunning Heuristic Prototype Greek New Testament Contributors .......... 5

# 2 John

## Chapter 1

1ὁ πρεσβύτερος; ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ (καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ
πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν), 2διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ’ ἡμῶν ἔσται εἰς τὸν αἰῶνα:
3ἔσται μεθ’ ἡμῶν χάρις, ἔλεος, εἰρήνη, παρὰ Θεοῦ Πατρός καὶ παρὰ Ἰησοῦ Χριστοῦ, τοῦ Υἱοῦ τοῦ Πατρός, ἐν
ἀληθείᾳ καὶ ἀγάπῃ.

4ἐχάρην λείαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ
Πατρός. 5καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ ὡς ἐντολὴν καινὴν γράφων σοι, ἀλλὰ ἣν εἴχαμεν ἀπ’ ἀρχῆς, ἵνα ἀγαπῶμεν
ἀλλήλους. 6καὶ αὕτη ἐστὶν ἡ ἀγάπη: ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ. αὕτη ἡ ἐντολή ἐστιν, καθὼς
ἠκούσατε ἀπ’ ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε. 7ὅτι πολλοὶ πλάνοι ἐξῆλθαν εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες
Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί. οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος. 8βλέπετε ἑαυτούς, ἵνα μὴ ἀπολέσητε ἃ
εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη ἀπολάβητε. 9πᾶς ὁ προάγων καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, Θεὸν οὐκ
ἔχει; ὁ μένων ἐν τῇ διδαχῇ, οὗτος καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν ἔχει. 10εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν
διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε; 11ὁ λέγων γὰρ αὐτῷ χαίρειν κοινωνεῖ
τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

12πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἐβουλήθην διὰ χάρτου καὶ μέλανος, ἀλλὰ ἐλπίζω γενέσθαι πρὸς ὑμᾶς, καὶ στόμα
πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ὑμῶν πεπληρωμένη ᾖ. 13ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς.

# Bunning Heuristic Prototype Greek New Testament Contributors

Alan Bunning